ραν γνῶσιν ὡς πρὸς τὴν θείαν γνῶσιν καὶ ἐξῃρημένην ἀπορίαν ἐκάλεσεν. ἐπεὶ οὖν αἱ καταδεεστέραι δυνάμεις ἤρτηνται 3
τῆς μίας πάντων ἀρχῆς, διὰ τοῦτο οὕτως εἶπεν. λέγει δὲ καὶ τὸν τόπον, ἔνθα δικάζουσιν οὗτοι, καί φησιν, ὅτι ἐν τῷ λειμῶνι καθέζονται καὶ δικάζουσιν ἐν τριοδίᾳ· τί τοίνυν ἐστὶν ὁ λειμών; ἰστέον, ὅτι τὴν γένεσιν ὑγρὰν καλοῦσιν οἱ παλαιοί· οὕτω γ' οὖν καὶ λέγεται περὶ τῆς ψυχῆς·

ψυχῇσιν βροτέαις θάνατος ὑγρῇσι γενέσθαι, διὰ τὸ ῥευστὸν καὶ ὕδρηλὸν καὶ διὰ τὸ ἀνθεῖν αὐτῶν ἐνταῦθα τὰς ζωάς.

λέγεται τοίνυν ὁ δικαστικὸς τόπος ἐν τῷ αἰθέρι εἶναι μετὰ τὰ ὑπὸ σελήνην· ἐπεὶ οὖν ἐν τῷ τελευταίῳ τόπῳ τῆς γενέσεώς ἐστιν ὁ δικαστικὸς τόπος. λειμὼν δέ ἐστιν οὗτος ὡς εἴρηται διὰ τὸ δίυγρον καὶ ποικίλον· διὰ τοῦτο λειμὼν λέγεται· ἔστιν δὲ ἐκεῖ τριοδία, ἐπειδὴ ἀπὸ τοῦ τόπου ἐκείνου αἱ μὲν ἀνάγονται ὡς ἄξιαι τῆς ἀναγωγῆς τῆς ἐπὶ τὰ οὐράνια, αἱ δὲ καταπέμπονται ἐπὶ τὰ χθόνια, αἱ δὲ ἐν τῷ μεταξὺ τόπῳ κατέρχονται, ὅ ἐστιν ἐν τῇ γενέσει. πάλιν δικαστὴς δὲ λέγεται, οἷον δικαστὴς νῦν τις ὤν, ἐπειδὴ διχάζει καὶ τὸν μὲν ἀδικοῦντα κατακρίνει, τὸν δὲ εὖ βιοῦντα γερῶν ἀξιοῖ. ταῦτα δὲ κατὰ ἀναλογίαν νόει, οὐ γὰρ τοπικῶς ἀνέρχονται ἢ κατάγονται· πάλιν τοι κἀνταῦθα εἰρηκὼς τριοδίαν εἶναι ἐν τῇ διδασκαλίᾳ τῆς τε οὐρανίας ὁδοῦ καὶ τῆς χθονίας μέμνηται, οὐκέτι δὲ καὶ τῆς ἐπὶ τὴν γένεσιν τῆς μεταξὺ ὡς ἂν πάλιν ἡμῶν ὀφειλόντων ἐκ τῶν ἄκρων ἐπινοεῖν τὰ μέσα. ἰστέον δέ, ὅτι καὶ τοῦτο οἱ φιλόσοφοι μῦθοι πλέον τῶν ποιητικῶν ἔχουσιν, ὅτι οἱ φιλόσοφοι καὶ ἀποδείξεις ἐν τῷ μέσῳ τῶν μύθων προβάλλουσι μιμούμενοι τὸ ἐπιμύθιον τῶν Αἰσωπείων μύθων· οὕτως τοίνυν κἀνταῦθα· ἐπειδὴ ἤμελλέ τις λέγειν, ὅτι κἀκεῖ ὄντες οἱ δικασταὶ ἀεὶ πῶς ἴσασι τὰ τῇδε γινόμενα, φησίν, ὅτι οὐδὲν ἕτερόν ἐστιν θάνατος ἢ χωρισμὸς ψυχῆς ἀπὸ σώματος· ὥσπερ οὖν τὸ σῶμα ἔχει μετὰ θάνατον ἄχρι τινὸς χρόνου τὰ πάθη ἢ γ' οὖν τὰ βοηθήματα, οἷον τὴν φαλακρό-

8 Heraclit fr. 77

8 τὸ λόγιον Ἡρακλείτου φασίν

9 ὕδρηλὸν ς ὑγρηλὸν M  16 τὰ] seqq. ÷ ÷ ÷ in ras.
23 γένεσιν] seq. ÷ in ras.  27 Αἰσωπείων] αἰ- in ras.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id408547804/245 UNIVERSITÄT LEIPZIG